1942



ἀρχὴ τῆς α ὁμήρου ῥαψῳδίας (ἰλιάδος)

# Ἄλφα λιτὰς Χρύσου· λοιμὸν στρατοῦ· ἔχθος ἀνάκτων· ἰλιάδος Ὁμήρου·

ὀργὴν ... ὦ ... τοῦ υἱοῦ τοῦ πηλέως
Μῆνιν ἄειδε θεὰ Πηληϊάδεω Ἀχιλῆος
τὴν φθαρτικὴν τὴν πολλῶν αἰτίαν κακῶν ... λύπας ἐποίησεν
οὐλομένην· ἣ μυρί' Ἀχαιοῖς ἄλγε' ἔθηκε·
ἰσχυράς ... ἔπεμψε
πολλὰς δ' ἰφθίμους ψυχὰς Ἄϊδι προΐαψεν
ἀνδρῶν ἡμιθέων ... ἁρπάσματα
ἡρώων· αὐτοὺς δὲ ἑλώρια τεῦχε κύνεσσιν
πετεινοῖς ... ἐπληροῦτο
οἰωνοῖσί τε πᾶσι· Διὸς δ' ἐτελείετο βουλή·
χρόνου ... διαχωρισθήτην ... φιλονεικήσαντε
ἐξ οὗ δὴ τὰ πρῶτα διαστήτην ἐρίσαντε
ὁ βασιλεύς ... ἔνδοξος
Ἀτρείδης τε ἄναξ ἀνδρῶν καὶ δῖος Ἀχιλλεύς·
αὐτούς ... φιλονεικίᾳ συνέβαλε
τίς τ' ἄρ σφωε θεῶν ἔριδι ξυνέηκε μάχεσθαι·
ὁ ἀπόλλων ... ἀγαμέμνονι ὀργισθείς
Λητοῦς καὶ Διὸς υἱός· ὁ γὰρ βασιλῆϊ χολωθεὶς
νόσον ἀρρωστίαν ... ἐφθείροντο
νοῦσον ἀνὰ στρατὸν ὦρσε κακήν· ὀλέκοντο δὲ λαοί.